* Ῥωμαϊστὶ ἀνέγνω ἀνέγνωμεν, ἀνέγνω.

φυλάττομεν, καὶ κατὰ ταύτην πιστεύομεν. * οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐπεβόησαν· ἔκθεσιν ἄλλην οὐδεὶς ποιεῖ, οὐδὲ ἐγχειροῦμεν, οὐδὲ τολμῶμεν ἐκθέσθαι· ἐδίδαξαν γὰρ οἱ πατέρες· καὶ ἐγγράφως σώζεται τὰ παρ' ἐκείνων ἐκτεθέντα· παρ' ἐκεῖνα λέγειν οὐ δυνάμεθα. Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστουπόλεως εἶπεν· ἀνεφύη τὰ κατὰ Εὐτυχέα· ἐπὶ τούτοις τύπος ἐδόθη παρὰ τοῦ ἁγιωτάτου ἐν Ῥώμῃ ἀρχιεπισκόπου, καὶ στοιχοῦμεν αὐτῷ, καὶ ὑπεγράψαμεν πάντες τῇ ἐπιστολῇ. οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐπεβόησαν· ταῦτα πάντες λέγομεν· ἀρκεῖ τὰ ἐκτεθέντα· ἄλλην ἔκθεσιν οὐκ ἐξὸν γενέσθαι. Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· εἰ δοκεῖ τῇ ὑμετέρᾳ εὐλαβείᾳ, οἱ ὁσιώτατοι πατριάρχαι διοικήσεως ἑκάστης ἐπιλεξάμενοι ἕνα, ἢ δεύτερον τῆς ἰδίας ἕκαστος διοικήσεως, εἰς τὸ μέσον παρελθόντες, καὶ κοινῇ περὶ τῆς πίστεως βουλευσάμενοι, τὰ συνδοκοῦντα φανερὰ πᾶσι καταστήσουσιν· ὥστε, εἰ μὲν συνθοῖντο πάντες, λυθῆναι πᾶσαν ἀμφισβήτησιν, ὅπερ εὐχόμεθα· εἰ δέ τινες, ὅπερ οὐχ ἡγούμεθα, ἐναντία φρονήσαιεν, ὥστε καὶ τὰς ἐκείνων φανερὰς καταστῆναι γνώμας. * οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐπεβόησαν· ἔγγραφον ἔκθεσιν οὐ ποιούμεθα. κανών ἐστιν ὁ διαγορεύων, ἀρκεῖν τὰ ἐκτεθέντα. ὁ κανὼν βούλεται ἄλλην ἔκθεσιν μὴ γενέσθαι. τὰ τῶν πατέρων κρατείτω. Φλωρέντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σάρδεων εἶπεν· ἐπειδὴ οὐκ ἔστι δυνατὸν σχεδιάσαι περὶ τῆς πίστεως, τοὺς δεδιδαγμένους ἕπεσθαι τῇ Νικαέων ἁγίᾳ συνόδῳ, καὶ τῇ ἐν Ἐφέσῳ ὀρθῶς συγκροτηθείσῃ, καὶ εὐσεβῶς, κατὰ τὴν πίστιν τῶν ἁγίων πατέρων, Κυρίλλου, καὶ Κελεστίνου, καὶ τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου Λέοντος. ἱκετεύομεν τὸ ὑμέτερον μέγεθος, δοθῆναι ἡμῖν προθεσμίαν, ὥστε μετὰ σκέμματος πρέποντος προσελθεῖν τῇ ἀληθείᾳ τοῦ πράγματος· εἰ καὶ τὰ μάλιστα εἰς ἡμέτερον πρόσωπον, τῶν ὑπογραψάντων τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου Λέοντος, οὐ δεόμεθα διορθώσεως. Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστουπόλεως εἶπεν· ἡ πίστις καλῶς * διήρηται παρὰ τῶν τριακοσίων δέκα, καὶ ὀκτὼ ἁγίων πατέρων, καὶ ἐβεβαιώθη παρὰ τῶν ἁγίων πατέρων, Ἀθανασίου, Κυρίλλου, Κελεστίνου, Ἱλαρίου, Βασιλείου, Γρηγορίου, καὶ νῦν πάλιν διὰ τοῦ ἁγιωτάτου Λέοντος· καὶ ἀξιοῦμεν, καὶ τὰ τῶν ἁγίων πατέρων τῶν τιη'. καὶ τὰ τοῦ ὁσιωτάτου Λέοντος, ἀναγνωσθῆναι. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· ἀναγινωσκέσθωσαν τὰ ἐκτεθέντα παρὰ τῶν ἁγίων τριακοσίων δέκα, καὶ ὀκτὼ πατέρων ἐν Νικαίᾳ συνελθόντων. *

* Ῥωμαϊστὶ ἀνέγνων, ἀνεγνωμένων, ἀνέγνω.

* εἴρηται

* Ῥωμαϊστὶ ἀνέγνων, ἀνεγνωμένων, ἀνέγνω.

Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας ἀπὸ βιβλίου ἀνέγνω.

## Ἔκθεσις συνόδου γενομένης ἐν Νικαίᾳ.

* ἔτει

ΕΝ ὑπατείᾳ Παυλίνου, καὶ Ἰουλιανοῦ τῶν λαμπροτάτων, * ἔτους ἀπὸ Ἀλεξάνδρου χλϛ'. ἐν μηνὶ Δεσίῳ ιθ'. τῇ πρὸ ιγ'. καλανδῶν Ἰουλίων, ἐν Νικαίᾳ τῇ μητροπόλει Βιθυνίας.

Πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε, καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν, ἐκ τῆς οὐσίας τοῦ πατρὸς, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί· δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ, καὶ τὰ ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα· παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας, καὶ νεκρούς· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον. Τοὺς δὲ λέγοντας· ἦν ποτε, ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι, οὐκ ἦν. καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο. ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας φάσκοντας εἶναι. ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ Θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ, καὶ ἀποστολικὴ ἐκκλησία.

Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· αὕτη ἡ πίστις τῶν ὀρθοδόξων· * ταύτῃ πάντες πιστεύομεν· ἐν ταύτῃ ἐβαπτίσθημεν. ἐν ταύτῃ βαπτίζομεν. ὁ μακάριος Κύριλλος οὕτως ἐδίδαξεν· αὕτη ἡ ἀληθινὴ πίστις· αὕτη ἡ ἁγία πίστις· αὕτη αἰώνια πίστις· εἰς ταύτην ἐβαπτίσθημεν· εἰς ταύτην βαπτίζομεν· πάντες οὕτως πιστεύομεν· ὁ πάπας Λέων οὕτως πιστεύει· Κύριλλος οὕτως ἐπίστευσεν· οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ἀναγινωσκέσθωσαν, καὶ τὰ ἐκτεθέντα παρὰ τῶν ρν'. ἁγίων πατέρων. * * ταύτην

* Ῥωμαϊστὶ ἀνέγνων, ἀνεγνωμένων, ἀνέγνω.

Ἀέτιος ὁ εὐλαβέστατος διάκονος Κωνσταντινουπόλεως ἀπὸ βιβλίου ἀνέγνω οὕτως.

## Ἡ ἁγία πίστις, ἣν ἐξέθεντο οἱ ἅγιοι πατέρες ρν'. συμφωνοῦσα τῇ ἁγίᾳ, καὶ μεγάλῃ συνόδῳ τῇ ἐν Νικαίᾳ.

ΠΙστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ, καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα· σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς· καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός· καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας, καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, καὶ τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ, καὶ υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν ἁγίαν καθολικὴν, καὶ ἀποστολικὴν ἐκκλησίαν. ὁμολογοῦμεν ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. προσδοκῶμεν ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. ἀμήν.

Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐπεβόησαν· αὕτη πάντων πίστις· αὕτη πίστις τῶν ὀρθοδόξων. οὕτω

τω